Τί δῆτα, τὴν θάλατταν ἔσθ᾽ ὅτι πλείονα
Νυνὶ νομίζεις, ἢ πρὸ τοῦ; Αμ. μὰ Δί᾽ ἀλλ᾽ ἴσην.
Οὐ γὰρ δίκαιον πλείον᾽ εἶναι. Στρεψ. καὶ πῶς,
Αὕτη μὲν, ὦ κακόδαιμον, οὐδὲν γίνεται,
Ἐπιρρεόντων τῶν ποταμῶν, πλείων; σὺ δὲ
Ζητεῖς ποιῆσαι τἀργύριον πλεῖον τὸ σόν;
Οὐκ ἀποδιώξεις σαυτὸν ἐκ τῆς οἰκίας;
Φέρε μοι τὸ κέντρον. Μαρ. ταῦτ᾽ ἐγὼ μαρτύρομαι.
Στρεψ. Ὕπαγε τί μέλλεις; οὐκ ἐλᾷς ὦ Σαμφόρα;
Αμ. Ταῦτ᾽ οὐχ ὕβρις δῆτ᾽ ἐστίν; Στρεψ. ἄξεις; ἐπιαλῶ,
Κεντῶν ὑπὸ τὸν πρωκτόν σε τὸν σειραφόρον,
Φεύγεις; ἔμελλόν ἄρα κινήσειν σ᾽ ἐγὼ,
Αὐτοῖς τροχοῖς τοῖς σοῖσι καὶ ξυνωρίσιν.

A *Sed an non censes etiam mare nunc plenius,*
*Quàm antea fuerit?* AM. *non, per Iouem: sed indico*
*Aequum esse: nam mare auctius fieri haud decet.*
ST. *Quomodo? mare (inquis) non fit auctius, miser,*
*Et tu argentum tantopere augere cupis tuum?*
B *Non tu iam temet amouebis ab aedibus?*
*Stimulum mihi affer.* TE. *at huius rei testis ego ero.*
ST. *Apage, quid cessas? non agitas, ô Samphora?*
AMY. *An non haec contumelia'st.* STR. *an ibis hinc?*
*Ego insiliam: & te gestantem catenam agam,*
C *Stimulaturus sub podicem: fugin' hinc scelus?*
*Iam ego te fueram ex isto protrusurus loco,*
*Cum bigis, & rotis tuis nequissimus.*

Σχόλια. Τὴν θάλατταν.] τί δῆτα ἐστὶν ἃ νομίζεις. καὶ τοῦτο δὲ ἔμαθε κατὰ τὸ σιωπώμενον. Ω Σαμφόρα.] τινὲς τοῦτο Στρεψιάδου. τινὲς ὅλον τοῦ κλητῆρος. ἀντὶ τοῦ κλήτορ. ὡς ἵππῳ αὐτῷ διαλέγεται. Αξεις ἐπιαλῶ.] ἡ γραφὴ διττή. καὶ ἐπιάλω καὶ ἐπιαλῶ. καὶ πρὸς μὲν τὸ προειρημένον τὸ ἄξεις ἀπειλητικῶς χρὴ λέγειν· οἷον ἄξεις D ὁρμήσεις λοιπὸν ἐντεῦθεν. ἐπιαλῶ σε, ὅ ἐστιν ἐξελάσω σε. εἰ διφθογγογραφεῖται τὸ διώξω σε κεντῶν ὑπὸ τὸν πρωκτὸν ὥσπερ ἵππον παρήορον. πρὸς δὲ τὴν ἑτέραν γραφὴν ὡς ἠθικῶς λέγοντος. οἷον ἀπάξεις σὺ τὸν σειραφόρον εἰς μύλωνα ἐπὶ τὸ ἀλήθειν. ἀντὶ τοῦ ἄπαγε σὺ σεαυτοῦ ἵππον. κἀκεῖθεν τραφήσῃ. ἄλλως. ἐπιαλῶ μέλλων ἀπὸ τοῦ ἰάλλω. λέγει δὲ ἐπιπέμψω σοι. ἐν ἤθει ἐν τῷ ἄξεις. λέγει. οὐκ ἀπάξῃ ποτὲ ἐντεῦθεν καὶ πορεύσῃ. τὸ δὲ ἐπιαλῶ ἀντὶ τοῦ ἐπιπέμψω σε. συμβουλεύει δὲ αὐτῷ ἀλοᾶν τὰ μισθῷ πορεύεσθαι ἵνα τρέφειν ἔχῃ τοὺς ἵππους. σειραφόρος δὲ ὁ E ἔξω τοῦ ζυγοῦ. ἄλλως. ἐὰν μὲν πρός ἐστι ὁ λόγος ἢ ἠθικῶς, ἀπέρχῃ ἢ ὑποβαλῶ τὴν μάστιγα κεντῶν σε ὑπὸ τὸν πρωκτὸν ὡς σειραφόρον. ἐὰν δὲ ἐπιάλω οὕτως. ἀπέρχῃ ἐπὶ ἅλωνα κεντῶν σου τὸν σειραφόρον, ἐπὶ τὸ ἐργαζόμενον ἐκεῖθεν τραφῆναι, οὐδὲν γὰρ ἐντεῦθεν λήψῃ. οἱ δὲ οὕτως. ἐπιβαλών σοι τὴν μάστιγα καὶ δέρων τὸν πρωκτὸν, ἄξω σε. ἀπὸ μεταφορᾶς τῶν κεντουμένων ἵππων βραδέων ὑπὸ τῶν ἡνιόχων.

BISETVS. Αξεις. ἐπιαλῶ] ταῦτα μετ᾽ ἐρωτήσεως οὕτω γραπτέον. ἄξεις; ἐπιαλῶ. ὁ δὲ νοῦς πρός ἐστι, οὐκ ἐντεῦθεν θᾶσσον σαυτὸν ἀπάξεις; οὐκ ἀπελεύσῃ θᾶσσον ἐς κόρακας; εἰ μὴ θᾶσσον ἀποχωρήσῃς, ἐγὼ εἰς τόν σου πρωκτὸν ἐπιαλῶ, εἴτε ἐπιαλοῦμαι, καὶ σὲ ὡς ἵππον ἀπελάσω.

Σχόλια. Υπὸ τὸν πρωκτὸν σέ.] μήποτε οὐκ ἔστι σὲ ἀλλὰ σύ. εἰ μὴ ἄρα λέγει ἄξεις σεαυτὸν ὡς τὸν σειραφόρον ὅπερ αὐτὸς ἐργάζῃ.

## ΣΤΡΟΦΗ ΚΩΛΩΝ ιή.

ΧΟ. Οἷον τὸ πραγμάτων ἐρᾶν φλαύρων,
Ὁ γὰρ γέρων ὅδ᾽ ἐρασθεὶς,
Ἀποστερῆσαι βούλεται
Τὰ χρήμαθ᾽, ἃ δανείσατο.
Κοὐκ ἔσθ᾽, ὅπως οὐ τήμερον λήψεται.

## CHORVS.

*Rebus malis studere, quae res est:*
*Amore quippe malae artis,*
F *Captus senex hic, debita hos*
*Fraudare vult pecunia.*
*Non est, ut hodie non malam rem sibi*

Σχ. Οἷον τὸ πραγμάτων ἐρᾶν.] κορωνὶς καὶ ἔκθεσις μέλους ἐξιόντων ὑπόκειται τῶν μονοστροφικοῦ ἐκ κώλων ιή. ὧν τὸ πρῶτον ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον τοῦ φλαύρων ποδὸς ἀνθ᾽ ὅλης ἰαμβικῆς κειμένου διποδίας. τὸ δεύτερον ἐκ διϊάμβου τὸ ἰωνικοῦ ἀπ᾽ ἐλάσσονος δίμετρον ἀκατάληκτον, ἢ ἰαμβικὸν ἑφθημιμερές. τὸ τρίτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τέταρτον ὅμοιον ἢ ἐκ παιώνων δευτέρων. τὸ ἕ χοριαμβικὸν ἐξ ἐπιτρίτων ἢ ἰαμβικὸν τρίμετρον καταληκτικόν. τὸ ἕκτον τροχαϊκὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές. τὸ ἕβδομον ὅμοιον τρίμετρον μέντοι. τὸ ή χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ θ ἀντισπαστικὸν ἐξ ἐπιτρίτου τρίτου καὶ πρώτου ὅμοιον. G τὸ δέκατον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ιά καὶ ιβ, ὅμοια τῷ τρίτῳ. τὸ τρισκαιδέκατον χοριαμβικὸν πενθημιμερές. εἰ δὲ βούλει δακτυλικὸν δίμετρον. τὰ ἑξῆς τρία, ἀντισπαστικὰ ἑφθημιμερῆ Φερεκράτεια. διτροχαϊκῆς κατὰ τὴν πρώτην τοῦ πεντεκαιδεκάτου χώραν κειμένης ταυτοποδίας. τὸ παρατέλευτον ὅμοιον τῷ τρίτῳ, μεθ᾽ ὃ ἰαμβικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερές. ἐπὶ τῷ τέλει κορωνίς. αἰνίττεται δὲ εἰς τὸν Στρεψιάδην, λέγων ὅτι δεινόν ἐστι τὸ ἀνδὲς τὸ ἀτόπων ἐρᾶν. ἰστέον δὲ ὅτι ἐκεῖνοι διαλεχθέντες ἀπεληλύθασιν. ὁ δὲ χορὸς ἐπὶ τῆς σκηνῆς ὢν, ταῦτα διέξεισι περὶ τοῦ Στρεψιάδου. προαναφωνῶν διὰ τούτων καὶ αἰνιττόμενος, ἃ μέλλει πείσεσθαι ὁ Στρεψιάδης ὑπὸ τοῦ υἱοῦ.

Πραγμ.